*μὲν ἀεί, γῆς δὲ οὐκ ἐφικνούμενον; ὅπου γὰρ ξὺν τῷ ἀτελέστῳ καὶ τὸ ἐπίμοχθον, ἠλίθιος ὁ διαπονούμενος, ʿπάντες δὲ οἱ λόγοι ἔγκοποιʾ (Σολομῶν καὶ τοῦτο ἀπεγνωμάτευσεν). ὑπὸ φροντισμάτων γὰρ καὶ Χαιρεφῶν ὁ Ἀθήνησιν ἐνόσει τὸ αἷμα, καὶ ἡ κωμῳδία ʿπύξινονʾ αὐτὸν ἐκάλει. ψυχῆς δὲ πάντως ὠδῖνες αἱ φροντίδες καὶ δριμεῖαι μελεδῶνες. ἐνταῦθα μὲν οὖν τοῦτο τῆς πολυγραφίας αἰτιᾶται καὶ τοῦ πρὸς διφθέραις ἔχειν ἀεί, ἀλλαχοῦ δὲ ἄλλως τοῖς αὐτοῖς ἐφιστάνει καὶ περὶ τῶν αὐτῶν διαγνωμονεῖ ὡς οὐ χρὴ πολυλογεῖν· ἁμαρτοεπὲς γὰρ τὸ πολύμυθον. τὸ γὰρ ʿἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίανʾ ἐς τοῦτο διανοίας τῷδε τἀνδρὶ καὶ ἄλλοις ἐπιτείνει. ταύταιν δὴ ταῖν γνώμαιν τὴν μὲν ὁ μελιχρὸς τὴν γλῶτταν Πλάτων εἰς Ἀττικὴν εὐγλωττίαν ὑπαμείψας, ἕτερον ἐφιλοσόφησε τρόπον Ἑλλήνιον, εἰδέναι λέγων ὡς οὐκ ἀνεύθυνά οἱ ἔσται φιλοσοφοῦντι καὶ οἰκεῖα ξυντάττοντι, ὅτι μηδʾ ἔστι τῶν ἁπάντων ὃς διαφευξεῖται τὴν αἰτίαν τοῦτο τὸ μέρος· καὶ διὰ τοῦτο τῆς Σωκράτους | φιλοσοφίας ὑποφήτης γενέσθαι καὶ* 524v] *τοῖς ἐκείνου χρῆσθαι τὴν γλῶτταν ὡς ᾄσμασιν ἀνδρὸς περιδεξίου τὴν μουσικήν. τὴν δʾ ἑτέραν ἐκείνην τὴν καὶ προτέραν Μάρκος ὁ Ἀντωνῖνος ἐσύλησε, καὶ ἡμεῖς ἐπέγνωμεν ἰδόντες τὰ φώρια. ʿτὴν γὰρ τῶν βίβλων δίψαν (φησί) ῥῖψον, ἵνα μὴ γογγύζων ἀποθάνῃςʾ, δίψαν ἐκεῖνος καλῶν τὸν εἰς αὐτὰς ἄπληστον ἔρωτα καὶ τὴν ἐντεῦθεν τῆς δοξομανίας μέθην, ἀεὶ μὲν ἐπιρρέουσαν οὐδέποτε δὲ κατανύουσαν, ἀλλʾ ἐπὶ μᾶλλον ἐκκάουσαν καὶ τηροῦσαν τὸ πολυδίψιον, κατὰ τοὺς ὅσοι τῶν ἐπισφαλεστέρων νέων τὰς γνώμας νυκτὸς καὶ ἡμέρας κωμάζοντες οὐδὲν ἧττον διψῶσι τὸν ἄκρατον, ὡς γογγυσμὸν αὖθις ἀνακεκραμένον θανάτῳ τὸ ἐκ τοῦ δυσέργου πόνηρον, ᾧ ἐπακολουθεῖ τὸ ἐπίνοσον καὶ ἡ στονόεσσα τελευτή.*

2 *Ταῦτʾ οὖν εἰδὼς ἐγώ (καὶ πῶς γὰρ οὔ, λόγοις παιδόθεν ἐντραφεὶς καὶ ὡς θεορρύτου μὲν πηγῆς καὶ τῆς παλαιᾶς σοφίας ὁσημέραι ἀπαρυόμενος, ἀλλʾ οὐδὲ τῆς θυραίας ἀμελῶν μούσης;) ἐθείαζον μὲν τῆς γνώμης τοὺς ἄνδρας, καὶ ὡς τἀληθῆ περὶ τῶν ἀνθρωπείων διαγνωμονοῦντας ἐκρότουν· ἠξίουν δὲ ὅμως μὴ μάτην τὸν τῆς σοφίας Ἑλικῶνα περιχορεύειν μηδʾ εἰς κενὸν οὕτως εὐόσμου καὶ ἡδείας ἄνθης ἀποσυλᾶν, ἀλλὰ καὶ εἰς σίμβλον τὴν καρδίαν φιλοτεχνεῖν καὶ φιλεργεῖν ὡς μέλι τὸ εὔμουσον, καὶ ὡσεὶ κηρία πλάττειν τοὺς λόγους, ἵνα, κατὰ τὴν Σολομώντειον μέλισσαν, σεμνὴν*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/10 UNIVERSITÄT LEIPZIG